Verùm ad eam iam mensuram diffusum ex imo intumescere, corporáque lauantum in sublime rapta foras in pauimentum sternere, ac mox ad veteris angustiæ spatium contrahi. Atque id non solùm humanis corporibus, sed quadrupedibus etiam ingressis vsu venire perhibent. In Carthaginensium ditione ferunt montem Comium cum omnigena rerum materia, tum in primis variegatis floribus refertum esse. Vnde contigua loca suaueolentia participantes viatoribus respirationem gratissimam reddunt. Iuxta autem fontem oleo fluentem esse, ac odore, cedri guttis non absimili. Verùm, vt inquiunt, tantum imperitos naturæ eius oportet accedere, quibus adeò copiosè scaturit oleum, vt hauriri etiam queat. Iuxta eum fontem sponte natam petram ferunt iusta magnitudine, ex qua ferunt caloribus æstiuis, ignis flammam exilire, hyeme autem aquæ voraginem effundi. Sic & duos coruos ad Iouis templum assiduos extitisse, neque aliò vspiam euolasse tradunt. Fertur & circa Scythas, Medósque Thraciæ fluuium, quem Pontum vocant, lapides deferre ardentes, contraria omnino natura prunis ligneis, quippe qui agitati, sufflatíque restinguantur, aquis autem respersi exardescant, resplendeántque. Cæterùm vstis, quemadmodum bitumini, adeò grauis fœtor est, vt reptilia penitus omnia è locis iis abigat. Esse aiunt apud illos locum quendam non exiguum, ad minus stadiorum viginti amplitudine, vbi hordeum prouenit, quod nulli animantium generi, nisi homini tantum, sit esui. Nam equi, bouésque ab eo abstinent, tum etiam canes, & sues vitant: vt ne excrementa quidem hominum hordeo vescentium degustent, quippe quæ ipsis vorata certum interitum adferant. In Scotusis Thessaliç fonticulum esse aiunt, vnde aqua defluens vulnera, conuulsionésque cùm hominum, tum iumentorum sanat, lignáque iniecta, si fissa, non etiam confracta fuerint, glutinat, & coniungit. Circa Thraciam quæ supra Amphipolim sita est,

A ἐπειδὰν δὲ τοῦτον τὸν ἀριθμὸν λάβῃ, ἐκ βάθους πάλιν ἀνιοῦσαν, ἐκβάλλειν μετέωρα τὰ σώματα τῶν λουομένων ἔξω ἐπὶ τὸ ἔδαφος. ὡς δ' ἂν τοῦτο γένηται, εἰς τὸ ἀρχαῖον πάλιν σχῆμα τὰς περιμέτρου καθίστασθαι. οὐ μόνον δὲ ἐπὶ ἀνθρώπων τοῦτο περὶ αὐτὴν γίνεσθαι, ἀλλὰ καὶ ἐάν τι τετράπουν εἰσβῇ, τὸ αὐτὸ πάσχειν. Ἐν δὲ τῇ ἐπικρατείᾳ τῶν Καρχηδονίων φασὶν ὄρος εἶναι ὃ καλεῖται Γαύνιον, παντοδαπῆς μὲν ὕλης γέμον, πολλοῖς δὲ διαποικίλον ἄνθεσιν· ὥστε τοὺς συνεχεῖς τόπους ἐπὶ πολὺ μεταλαμβάνοντας τῆς εὐωδίας αὐτοῦ, ἡδίστην τινὰ τοῖς ὁδοιποροῦσιν προσβάλλειν τὴν ἀναπνοήν. πρὸς δὴ τοῦτον τὸν τόπον κρήνην ἐλαίου φασὶν εἶναι, τὴν ὀσμὴν ἔχειν τοῖς κέδρου ἀποπρίσμασιν ὁμοίαν. δεῖν δέ φασι τὸν προσιόντα πρὸς αὐτὴν ἁγνεύειν· καὶ τούτου C γινομένου, πλεῖον ἀναβλύζειν αὐτὴν τὸ ἔλαιον, ὥστε ἀσφαλῶς ἀρύεσθαι. Φασὶ καὶ ταύτης τῆς κρήνης πλησίον εἶναί τινα πέτραν αὐτοφυᾶ, μεγάλην τῷ μεγέθει. ταύτης οὖν λέγουσιν, ἐπειδὰν μὲν ᾖ θέρος, φλόγα ἀναπίπλειν πυρός· χειμῶνος δὲ γινομένου, ἐκ τοῦ αὐτοῦ τόπου κρουνὸν ὕδατος ἀναρραίνειν, οὕτω ψυχρὸν ὥστε χιόνι συμβαλλόμενον, μηδὲν διαφέρειν. καὶ τοῦτό φασιν οὐκ ἐπίκρυφον οὐδὲ μικρὸν D χρόνον φαίνεσθαι, ἀλλὰ τὸ μὲν πῦρ αἰεὶ τὴν θερείαν ὅλην, τὸ δὲ ὕδωρ πάντα τὸν χειμῶνα.

Λέγεται δὲ καὶ περὶ τὴν τῶν Σιντῶν καὶ Μαιδῶν χώραν καλουμένην τῆς Θρᾴκης, ποταμόν τινα Πόντον προσονομαζόμενον, ἐν ᾧ καταφέρεσθαί τινας λίθους οἳ καίονται, καὶ τοὐναντίον πάσχουσι τοῖς ἐκ τῶν ξύλων ἀνθραξι. ῥιπιζόμενοι γὰρ, σβέννυνται ταχέως· E ὕδασι δὲ ῥαινόμενοι, ἀναλάμπουσι καὶ ἀνάπτουσι κάλλιον· παραπλησίαν δὲ ἀσφάλτῳ, ὅταν καίωνται, καὶ πονηρὰν ὀσμὴν οὕτω καὶ δριμεῖαν ἔχουσιν. ὥστε μηδὲν τῶν ἑρπετῶν ὑπομένειν ἐν τῷ τόπῳ καιομένων αὐτῶν.

Εἶναι δέ φασι καὶ τόπον τινὰ παρ' αὐτοῖς οὐ λίαν μικρόν, ἀλλ' ὡς ἂν εἴκοσί που σταδίων, ὃς φέρει κριθάς, αἷς οἱ μὲν ἄνθρωποι χρῶνται, οἱ δ' ἵπποι καὶ βόες οὐκ ἐθέλουσιν αὐτὰς ἐσθίειν, οὐδ' ἄλλο οὐδέν. ἀλλ' οὐδὲ τῶν ὑῶν οὐδὲ τῶν κυνῶν οὐδεμία τολμᾷ γεύσασθαι τῆς κόπρου τῶν ἀνθρώπων, οἵ τινες ἂν ἐκ τῶν κριθῶν τούτων μᾶζαν φαγόντες ἢ ἄρτον, ἀφοδεύσωσι, τῷ θνήσκειν. Ἐν δὲ Σκοτούσσαις τῆς Θετταλίας φασὶν εἶναι κρηνίδιόν τι μικρόν, ἐξ οὗ καὶ ῥεῖ τοιοῦτον ὕδωρ, ὃ τὰ μὲν ἕλκη καὶ θλάσματα ταχέως ὑγιῆ ποιεῖ καὶ τῶν ἀνθρώπων καὶ τῶν ὑποζυγίων· ἐὰν δέ τις ξύλον μὴ παντελῶς συντρίψας, ἀλλὰ σχίσας ἐμβάλῃ, συμφύεται, καὶ πάλιν εἰς τὸ αὐτὸ καθίσταται. Περὶ δὲ τὴν Θρᾴκην τὴν ὑπὲρ Ἀμφιπόλεως φασὶ γίνεσθαι.